**δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς συλλαβήν**

Trich. 375. 34 sqq. τρίμετρα δὲ (*scil.* δακτυλικά) καταληκτικὰ μὲν εἰς συλλαβήν·

ἃ τὸν παντογόνου.

τοῦτο δὲ ἐπισημότατον καὶ πενθημιμερὲς ἀρχιλόχειον λέγεται, ὅτι ἐκ δύο ἥμισυ σύγκειται ποδῶν, οἳ τοῦ πέντε εἰσὶν ἥμισυ.

Tzetz. in Aristoph. *nub.* 457a (p. 494. 6 sqq. Holwerda) 'τὸ ι´ δισύλλαβόν' φασι 'κατὰ πόδα κρητικόν'· ὁ Τζέτζης δέ, ὡς ἔοικε, οὔτε ποιητικὰ μέτρα εἰδώς, οὔτε δὲ συλλαβῶν ἀριθμόν, φησὶ τρίμετρον εἶναι δακτυλικὸν καταληκτικὸν καὶ ὀκτασύλλαβον οἴεται τοῦτο, καὶ οὐ δισύλλαβον.

Epit. Hephaest. 361. 7 sqq. καταληκτικὰ δὲ (*scil.* καλεῖται τὰ μέτρα) ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα, οἷον ἐπὶ ἰαμβικοῦ· (Sapph. 117 Voigt)

χαίροις ἁ νύμφα, χαιρέτω δ᾽ ὁ γαμβρός.

ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ συνιστῶν τὸ μέτρον, δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικὸν, οἷον ἐπὶ δακτυλικοῦ· (Archil. 182. 2 West)

ἐν δὲ Βατουσιάδης.

ἐνταῦθα γὰρ ἡ 'δης' συλλαβὴ ἀντὶ δακτύλου κεῖται τρισυλλάβου.

Schol. vet. in Theocr. *Anth. Pal.* XV 21 arg. c (p. 336. 15 sqq. Wendel) τὸ ἐπιγραμμάτιον ἡ Σῦριγξ τοῦ Θεοκρίτου συνέστηκεν ἐκ μέτρων ὅλων μὲν δακτυλικῶν, ποσότητι δὲ διαφερόντων ... (p. 337. 3) τὸ ὄγδοον τρίμετρον καταληκτικόν.

Schol. A in Hephaest. 128. 11 sqq. δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον πενθημιμερές, ποδῶν δύο καὶ συλλαβῆς μιᾶς.

Schol. B in Hephaest. 272. 19 sqq. τρίμετρον δὲ (*scil.* δακτυλικόν), καταληκτικὸν μὲν εἰς συλλαβήν, ὃ καὶ πενθημιμερὲς καλεῖται καὶ ἀρχιλόχειον, τό· (Archil. 182. 2 West)

ἐν δὲ Βατουσιάδης.

Schol. B in Hephaest. 278. 10 sqq. δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς συλλαβήν, τὸ καλούμενον πενθημιμερές, ποδῶν δύο καὶ συλλαβῆς ἐστι μιᾶς· (πενθημιμερὲς δὲ καλεῖται, ὅτι τὰ δύο ἥμισυ ἀναλυόμενα πέντε μέρη <ἥμισυ> ποιοῦσιν. ) ὡσαύτως καὶ τὸ δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν, τὸ καὶ ἑφθημιμερές, ποδῶν ὑπάρχον τριῶν ἥμισυ, φανερὸν ὅτι ἑπτὰ μέρη ἥμισυ ἔχει. [*S.D.B.*]